# ΞΕΝΟΦΩΝΤΟΣ ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΑ.

## Α.

*Πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους* 1
ἔπεισαν οἱ γραψάμενοι Σωκράτη ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. ἡ μὲν γὰρ γραφὴ ⟨ἡ⟩ κατ' αὐτοῦ τοιάδε τις ἦν· ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων.

*Πρῶτον μὲν οὖν ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νο-* 2
μίζει θεοὺς ποίῳ ποτ' ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανερὸς ἦν πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν, καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν. διετεθρύλητο γὰρ ὡς φαίη Σωκράτης τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν· ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν.
ὁ δ' οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι μαν- 3

---

1 Ξενοφῶντος ῥήτορος **MZ** Ξ. ῥήματος **X** ἀπομνημονευμάτων codd. 3 ἔπεισαν Ἀθηναίους **O** 4 Σωκράτην codd. (sic infra, nisi alia adnotata) 5 alt. ἡ add. Ddf. 7 κενὰ **B**$^{1}$ τινὰ **A** ξένα schol. Aristoph. Nub. 247 (ubi εἰσάγων est) 9 οὖν om. **O** 10 ἐχρήσατο **Y** 11 φανερῶς **Y**$^{1}$ δὲ καὶ ἐπὶ **A** 13 διετεθρύλητο **X** διετεθρύλλητο **ABMORYZ** ὡς ἂν φαίη **B** 14 αὐτῷ **BMO** 15 αἰτιᾶσθαι **O** 16 καινὸν **B** καινότερον γρ. **B**$^{ca}$